# ACTVS II

*(ΜΟϹΧΙΩΝ)*

Δᾶε, πολλάκις μὲν ἤδη πρός μ' ἀπήγγελκας λ̣ό̣γ̣ο̣υ̣ς̣
οὐκ ἀληθεῖς, ἀλλ' ἀλαζὼν καὶ θεοῖςιν ἐχθρὸς εἶ.
εἰ δὲ καὶ νυνὶ πλανᾶις με—

*(ΔΑΟϹ)* κρέμαςον εὐθύς, εἰ [πλανῶ.

(Μο.) ἥμερον λέγεις τι.

(Δα.) χρῆςαι πολεμίου τοίνυν [
ἂν δ' ἀληθὲς ἦι καταλάβηις τ' ἔνδον αὐτὴν ἐνθάδε,
ὁ δεδιωικηκ[ὼς ἐγώ] ςοι ταῦτα πάντα, Μοςχίων,
καὶ πεπεικὼς τὴν μὲν ἐλθεῖν δεῦρ' ἀναλώςας λόγους
μυρίους, τὴν ςὴν δὲ μητέρ' [ὑποδέχ]εςθαι καὶ ποεῖν
πάνθ' ἃ ςοι δοκεῖ, τίς ἔςομαι;

(Μο.) τίς βίος μάλιςθ', [ὅρα,
Δᾶε, τῶν πάντων ἀρέςκει; [τοῦ]τ' ἐπιβλέψ[ας λέγε.

(Δα.) ἆρα τὸ μυλωθρεῖν κράτιςτον;

(Μο.) εἰς μυλῶνα̣ [
οὑτοςὶ̣ φερόμενος ἡ̣μ̣ῖ̣ν.

(Δα.) μηδα̣μ[ῶς] τέχν[ην λέγε.

(Μο.) βούλομαι δὲ προςτάτην ςε πραγμάτων Ἑλληνικ[ῶν
καὶ διοικητὴν ςτρατοπέδων—

(Δα.) [. . .]ε̣λ̣ε[
ο̣[ἵ μ'] ἀποςφάττουςιν εὐθύς, ἂ[ν τύ]χηι, κ̣λ̣έψα[ντά τι.